τέλης, φίλος κόλακος, ὅσον τὸ ἀγαθὸν τοῦ ἡδέος· ὁ μὲν γὰρ φίλος καὶ λυπεῖ διὰ τὸ ἀγαθόν, ὁ δὲ κόλαξ καὶ βλάπτει διὰ τὸ ἡδύ, καὶ λέγει κριτήριον διακρῖνον τόν τε φίλον καὶ τὸν κόλακα· φησὶ γάρ, ὅτι προβαλοῦ ἐναντία καὶ εἰ μὲν τὸ ἓν ἀποδέξηται, τὸ δὲ ἕτερον οὔ, φίλος ὁ τοιοῦτος· εἰ δὲ ἀμφότερα κόλαξ, οἷόν τι λέγω· εἰπὲ ὅτι εἰς προάστειον ἀπελθεῖν καὶ ἴδε τί λέγει· εἰ μὲν εἴποι, ὅτι ναί· καὶ γάρ ἐστιν ἐνταῦθα πολλὴν καὶ τῶν ἐπιτηδείων τὴν ἀφθονίαν εὑρεῖν καὶ τῶν ἀέρων εὐκρασίαν· εἰπὲ σύ, ὅτι ἀληθῶς τάχα οὐκ ἄπειμι· πολλὴ γάρ ἐστιν ἐνταῦθα θερμασία καὶ τῶν ἐπιτηδείων οὐκ ἀπολαύομεν· εἰ μὲν οὖν ἐναντιωθῇ κατὰ κράτος καὶ εἴπῃ, ὅτι δεῖ πάντως ἀπελθεῖν, ὁ τοιοῦτος φίλος ἐστίν· εἰ δὲ πάλιν εἴποι, ὅτι ἀληθῶς καλῶς λέγεις, οὐ δεῖ ἀπελθεῖν καὶ γὰρ ἔχομεν ἀσχολίας καὶ τὰ τοιαῦτα, γίνωσκε κόλακα τὸν τοιοῦτον πρὸς τὸν λόγον τοῦ κολακευομένου βλέποντα.

p. 464d. ὥστ' εἰ δέοι ἐν παισίν.

ὥστε, φησίν, εἰ ἀνοήτων θέατρον συγκροτήσωμεν καὶ ἐπὶ **3** αὐτῶν κρινοῦμεν ἰατρὸν καὶ ὀψοποιοῦντα· ὁ μὲν ἰατρὸς ἐξοστρακισθήσεται ὑπὸ τῶν παίδων, τὰ γὰρ παιδία καὶ φρίττουσι τὸν ἰατρὸν ὡς πολλάκις καὶ ἀσιτίαν ἐπιτάττοντα· ὁ δὲ ὀψοποιὸς φιληθήσεται ὡς πρὸς τὸ ἡδὺ ὁρῶν. εἶπεν δὲ ἢ ἐν παισὶν ἢ ἐν ἀνδράσιν, ἐπειδὴ καὶ Ἀριστοτέλης φησίν, ὅτι ἡ ἄνοια γίνεται ἢ παρὰ τὴν ἡλικίαν ὡς ἐπὶ τῶν παίδων· ταῦτα γὰρ ἀνόητα διὰ τὴν ἡλικίαν· ἢ διὰ τὸν λογισμὸν ὡς ἐπὶ τῶν τελείων μὲν ἀνδρῶν, ἀπαιδεύτων δέ, ἐφ' ὧν ἔστιν εἰπεῖν, ὅτι δὶς παῖδα ἔδει γενέσθαι ἕκαστον, ἵνα ἐν τῷ δεδιέναι κατετρίβετο.

p. 464e. καὶ αἰσχρόν φημι εἶναι.

ἐκ συλλογισμοῦ δείκνυται ὁ κόλαξ αἰσχρὸς οὕτως. ὁ κό- **4**
λαξ πρὸς τὸ ἡδὺ βλέπει· ὁ πρὸς τὸ ἡδὺ βλέπων ἐκκαλεῖται

22 Aristot. fr. 57

4 mg. ση. τὸ κριτήριον ὡς ἀκριβὲς φίλου τε καὶ κόλακος
23 mg. ἡ ἄνοια

παρὰ τὴν ἡλικίαν — παρὰ τὸν λογισμὸν
παῖδες — ἀπαίδευτοι